μενον ἐπὶ τῶν ὁμολογουμένων καὶ κοινὰς ἐχόντων τὰς
τιμάς, οἷόν ἐστιν ἶβις καὶ ἱέραξ καὶ κυνοκέφαλος, αὐτὸς
ὁ Ἆπις ***· οὕτω δὴ γὰρ τὸν ἐν Μένδητι τράγον κα-
λοῦσι.

**74.** Λείπεται δὲ δὴ τὸ χρειῶδες καὶ τὸ συμβολικόν, ὧν
ἔνια θατέρου, πολλὰ δ' ἀμφοῖν μετέσχηκε. βοῦν μὲν οὖν
καὶ πρόβατον καὶ ἰχνεύμονα δῆλον ὅτι χρείας ἕνεκα καὶ
F ὠφελείας ἐτίμησαν, ὡς Λήμνιοι κορύδους τὰ τῶν ἀττα-
λάβων εὑρίσκοντας ᾠὰ καὶ κόπτοντας, Θεσσαλοὶ δὲ
πελαργούς, ὅτι πολλοὺς ὄφεις τῆς γῆς ἀναδιδούσης
ἐπιφανέντες ἐξώλεσαν ἅπαντας (διὸ καὶ νόμον ἔθεντο
φεύγειν ὅστις ἂν ἀποκτείνῃ πελαργόν)· ἀσπίδα δὲ καὶ
γαλῆν καὶ κάνθαρον, εἰκόνας τινὰς ἐν αὐτοῖς ἀμαυρὰς |
381 ὥσπερ ἐν σταγόσιν ἡλίου τῆς τῶν θεῶν δυνάμεως κατι-
δόντες. τὴν μὲν γὰρ γαλῆν ἔτι πολλοὶ νομίζουσι καὶ
λέγουσι κατὰ τὸ οὖς ὀχευομένην τῷ δὲ στόματι τίκτου-
σαν εἴκασμα τῆς τοῦ λόγου γενέσεως εἶναι· τὸ δὲ κανθά-
ρων γένος οὐκ ἔχειν θήλειαν, ἄρρενας δὲ πάντας ἀφιέναι
τὸν γόνον εἰς τὴν σφαιροποιουμένην ὕλην, ἣν κυλινδοῦσιν
ἀντιβάδην ὠθοῦντες, ὥσπερ δοκεῖ τὸν οὐρανὸν ὁ ἥλιος
ἐς τοὐναντίον περιστρέφειν αὐτὸς ἀπὸ δυσμῶν ἐπὶ τὰς
ἀνατολὰς φερόμενος· ἀσπίδα δ' ὡς ἀγήρω καὶ χρωμένην
κινήσεσιν ἀνοργάνοις μετ' εὐπετείας καὶ ὑγρότητος
B ἀστραπῇ προσείκασαν. (**75.**) οὐ μὴν οὐδ' ὁ κροκόδειλος
αἰτίας πιθανῆς ἀμοιροῦσαν ἔσχηκε τιμήν, ἀλλὰ μίμημα
θεοῦ λέγεται γεγονέναι μόνος μὲν ἄγλωσσος ὤν· φωνῆς